ΥΟΕ ἴσαι ἀλλήλαις εἰσίν· καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΔΞ τῇ ΟΕ
ἡ δὲ ΞΥ τῇ ΥΟ, καὶ γωνίας ἴσας περιέχουσιν, βάσις
ἄρα ἡ ΔΥ τῇ ΥΕ ἐστὶν ἴση· καὶ τὸ ΔΞΥ τρίγωνον τῷ
ΥΟΕ τριγώνῳ ἴσον ἐστίν· καὶ αἱ λοιπαὶ γωνίαι ταῖς
λοιπαῖς γωνίαις ἴσαι· ἴση ἄρα ἡ ὑπὸ ΞΥΔ γωνία τῇ
ὑπὸ ΟΥΕ γωνίᾳ. διὰ δὴ τοῦτο εὐθεῖά ἐστιν ἡ ΔΥΕ. διὰ
τὰ αὐτὰ δὴ καὶ ἡ ΒΣΗ εὐθεῖά ἐστιν καὶ ἴση ἡ ΒΣ τῇ ΣΗ. καὶ
ἐπεὶ ἡ ΓΑ τῇ ΔΒ ἴση ἐστὶν καὶ παράλληλος. ἀλλὰ ἡ ΓΑ
καὶ τῇ ΕΗ ἴση τέ ἐστιν καὶ παράλληλος, καὶ ἡ ΔΒ ἄρα
τῇ ΕΗ ἴση τέ ἐστιν καὶ παράλληλος καὶ ἐπιζευγνύουσιν
αὐτὰς εὐθεῖαι αἱ ΔΕ ΒΗ· παράλληλος ἄρα ἐστὶν
ἡ ΔΕ τῇ ΒΗ. καὶ εἰλήφθω ἐφ' ἑκατέρας αὐτῶν τυ-
χόντα σημεῖα τὰ ΔΥΗΣ. καὶ ἐπεζεύχθωσαν αἱ ΔΗ
ΥΣ· ἐν ἑνὶ ἄρα ἐστὶν ἐπιπέδῳ αἱ ΔΗ ΥΣ. καὶ ἐπεὶ παράλ-
ληλός ἐστιν ἡ ΔΕ τῇ ΒΗ. ἴση ἄρα ἡ ὑπὸ ΕΔΤ γω-
νία τῇ ὑπὸ ΒΗΤ. ἐναλλὰξ γάρ· ἐστὶν δὲ ἡ ὑπὸ ΔΤΥ
τῇ ὑπὸ ΗΤΣ ἴση. δύο δὴ τρίγωνά ἐστι τὰ ΔΤΥ ΗΤΣ
τὰς δύο γωνίας ταῖς δυσὶ γωνίαις ἴσας ἔχοντα καὶ
μίαν πλευρὰν μιᾷ πλευρᾷ ἴσην τὴν ὑποτείνουσαν
ὑπὸ μίαν τῶν ἴσων γωνιῶν τὴν ΔΥ τῇ ΗΣ· ἡμί-
σειαι γάρ εἰσιν τῶν ΔΕ ΒΗ. καὶ τὰς λοιπὰς πλευρὰς
ταῖς λοιπαῖς πλευραῖς ἴσας ἕξει. ἴση ἄρα ἡ μὲν ΔΤ τῇ
ΤΗ· ἡ δὲ ΥΤ τῇ ΤΣ. ἐὰν ἄρα στερεοῦ παραλληλεπι-
πέδου τῶν ἀπεναντίον ἐπιπέδων αἱ πλευραὶ δί-
χα τμηθῶσιν· διὰ δὲ τῶν τομῶν ἐπίπεδα ἐκβλη-
θῇ. ἡ κοινὴ τομὴ τῶν ἐπιπέδων καὶ ἡ τοῦ στερεοῦ

παραλληλεπιπέδου διάμετρος. δίχα τέμνουσιν ἀλλήλας·
ὅπερ ἔδει δεῖξαι:~



Ἐὰν ᾖ δύο πρίσματα ἰσοϋψῆ· καὶ τὸ μὲν ἔχῃ βάσιν πα-
ραλληλόγραμμον· τὸ δὲ τρίγωνον. διπλάσιον δὲ ᾖ
τὸ παραλληλόγραμμον τοῦ τριγώνου. ἴσα ἔσται τὰ
πρίσματα· ἔστω δύο πρίσματα ἰσοϋψῆ τὰ ΑΒΓ
ΔΕΖ ΗΘΚ ΛΜΝ. καὶ τὸ μὲν ἐχέτω βάσιν τὸ ΑΖ παραλ-
ληλόγραμμον· τὸ δὲ ΗΘΚ τρίγωνον· διπλάσιον δὲ
ἔστω τὸ ΑΖ παραλληλόγραμμον τοῦ ΗΘΚ τριγώνου·
λέγω ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓ ΔΕΖ πρίσμα τῷ ΗΘΚ
ΛΜΝ πρίσματι· συμπεπληρώσθω γὰρ τὰ ΑΞ ΗΟ
στερεά· ἐπεὶ διπλάσιόν ἐστι τὸ ΑΖ παραλληλόγραμ-
μον τοῦ ΗΘΚ τριγώνου· ἔστιν δὲ καὶ τὸ ΘΚ παραλ-
ληλόγραμμον διπλάσιον τοῦ ΗΘΚ τριγώνου. ἴσον
ἄρα ἐστὶ τὸ ΑΖ παραλληλόγραμμον τῷ ΘΚ παραλ-
ληλογράμμῳ· τὰ δὲ ἐπὶ ἴσων βάσεων ὄντα στερε-
ὰ παραλληλεπίπεδα καὶ ὑπὸ τὸ αὐτὸ ὕψος ἴσα ἀλλή-
λοις ἐστίν· ἴσον ἄρα ἐστὶ τὸ ΑΞ στερεὸν τῷ ΗΟ στε-

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo